θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Λίλαιος, Ἀρσάμης τε κἀργήστης τρίτος,
οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα·
πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου
Ἀρκτεύς, Ἀδεύης, καὶ Φερεσσεύης τρίτος,
Φαρνοῦχος, οἵδε ναὸς ἐκ μιᾶς πέσον.
Χρυσεὺς Μάταλλος μυριόνταρχος θανών,
ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας,
πυρσὴν ζαπληθῆ δάσκιον γενειάδα
ἔτεγγ', ἀμείβων χρῶτα πορφυρέᾳ βαφῇ.
καὶ Μᾶγος Ἄραβος, Ἀρτάμης τε Βάκτριος,
σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο.
Ἄμηστρις Ἀμφιστρεύς τε πολύπονον δόρυ
νωμῶν, ὅ τ' ἐσθλὸς Ἀριόμαρδος Σάρδεσιν
πένθος παρασχών, Σησάμης ὁ Μύσιος,
Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν
ταγός, γένος Λυρναῖος, εὐειδὴς ἀνήρ,
κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς·
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἔπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
ἐχθροῖς παρασχών, εὐκλεῶς ἀπώλετο.

313. ἐν μιᾶς πέσος 322. Σεισάμης 328. νηλεῶς

---

307. θαλασσόπληκτον] εὐφήμως, κεῖται ἐν Σαλαμῖνι. 309. τὴν πολυτρήρωνα Σαλαμῖνα παρὰ τὸ Ὁμηρικὸν (Il. β' 502) ‚πολυτρήρωνά τε Θίσβην.' 310. κύρισσον: συνέκρουον ἀλλήλοις, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων τῶν τυπτόντων τοῖς κέρασιν. 312. Ἀδεύης, καὶ Φερεσσεύης] ταῦτα οὐκ ἔχει τῶν Αἰγυπτίων χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται. 316. πυρσὴν] τινὲς ἀντὶ τῆς γενικῆς πυῤῥᾶς γενειάδος· καὶ τὸ ἑξῆς, ἔτεγγεν χρῶτα, ἔβρεχε τῷ αἵματι. δάσκιον] δασύτριχον. 318. Μᾶγος Ἄραβος] Μάγος ἐθνικόν Ἄραβος κύριον. 319. σκληρᾶς μέτοικος γῆς: ὁ ἐκεῖ ἀπελθὼν μετοικήσει τὴν Σαλαμῖνα τὴν σκληρὰν καὶ πετρώδη. μέτοικος γῆς] ἐν Σαλαμῖνι μετοικήσας εὐφήμως. παρόσον ἀνυπόστροφος αὐτῷ ἡ ἐκ ταύτης ἄφοδος γέγονεν. 324. Λυρναῖος] ἀπὸ πόλεως. 327. ἔπαρχος] ἡγεμών.